τὸ ἀποτυχεῖν με κατεπείγεις, καὶ κακοδοξίᾳ περιβαλεῖν θέλεις. Ἔασον ὑπὸ τῶν ὁμοτέχνων φθονεῖσθαι. Ἐὰν δέ με ἀποκηρύξῃς πάλιν, ἐγὼ μὲν, καίτοι πάντων ἔρημος γενόμενος, οὐδὲν κατὰ σοῦ δεινὸν εὔξομαι. Τί δ᾽ ἂν, ὅπερ μὴ γένοιτο, αὖθις ἡ νόσος ἐπανέλθοι; (φιλεῖ γάρ πως τὰ τοιαῦτα ἐρεθιζόμενα παλινδρομεῖν) τί με πρᾶξαι[2] δεήσει; Θεραπεύσω μὲν εὖ ἴσθι καὶ τότε, καὶ οὔποτε λείψω τὴν τάξιν, ἣν τοὺς παῖδας ἔταξεν ἡ φύσις, οὐδὲ τοῦ γένους τὸ ἐπ᾽ ἐμαυτῷ[3] ἐπιλήσομαι. Εἶτ᾽ ἂν σωφρονήσῃς, αὖθις ἀναλαμβάνειν πώποτε πιστεῦσαί με δεῖ; Ὁρᾷς ἤδη, καὶ ταῦτα ποιῶν, ἐπισπᾷ τὴν νόσον, καὶ ὑπομιμνήσκεις τὸ πάθος· χθὲς, καὶ πρώην, ἐκ τηλικούτων κακῶν ἀνασφήλας, διατείνῃ, καὶ βοᾷς, καὶ τὸ μέγιστον, ὀργίζῃ, καὶ πρὸς μῖσος τρέπῃ, καὶ τοὺς νόμους ἀνακαλεῖς. Οἴμοι! πάτερ, τοιαῦτ᾽ ἦν σου καὶ τῆς πάλαι μανίας τὰ προοίμια.

# ΕΚ ΤΩΝ ΛΙΒΑΝΙΟΥ.

## ΠΡΕΣΒΕΥΤΙΚΟΙ.

### Πρὸς τοὺς Τρῶας ὑπὲρ τῆς Ἑλένης.

### Ὑπόθεσις.

Ὅμηρος μὲν ἐποίησε τὸν Ἀντήνορα πρὸς τὴν Ἑλένην εἰπεῖν δεικνύουσαν ἀπὸ τοῦ τείχους ἕκαστον τῶν Ἑλλήνων στρατηγῶν περὶ Ὀδυσσέως καὶ Μενελάου· ὅτι ἦλθον πρεσβεύοντες εἰς Ἴλιον ὑπὲρ αὐτῆς. Καὶ ὁ μὲν Μενέλαος ἐφάνη ὀλίγοις μὲν, ἡδίστοις δὲ χρώμενος τοῖς λόγοις δημηγορῶν, καὶ τούτοις εὐστόχως· ὁ δ᾽ Ὀδυσσεὺς πολλοῖς καὶ κατὰ νιφάδας χειμερίους, ὥστε ἔδοξε πλέον ἢ κατὰ ἄνθρωπον, δημηγορῶν. Ἰλ. Γ. 205. . . . 224. Ἡρόδοτος δὲ ἐν μὲν Κλειοῖ, γ΄. ὡς ἔπεμψαν ἀγγέλους οἱ Ἕλληνες εἰς Τροίαν καὶ δίκας τῆς ἁρπαγῆς ᾔτουν τῆς Ἑλένης· ἐν δὲ Εὐτέρπῃ, ὡς ἐκβάντες εἰς τὴν γῆν τῆς Τρωάδος οἱ Ἕλληνες, ἔπεμψαν Μενέλαον σὺν ἄλλοις εἰς Ἴλιον ἀπαιτήσοντας Ἑλένην, καὶ τὰ χρήματα, ὅσα Ἀλέξανδρος κλέψας ἐκ Σπάρτης σὺν Ἑλένῃ ᾤχετο· καὶ τῶν ἀδικημάτων δίκας ᾔτουν. Ταῦτα οὖν ἀφορμὴν λαβὼν Λιβάνιος, ἰδίας μελέτας ποιούμενος, καὶ τοὺς δύο τούτους Πρεσβευτικοὺς συνέθετο λόγους, ἐν οἷς πλάττει ὅμοια τοῖς ὑπὸ Ὁμήρου λεχθεῖσι, τὸν μὲν Μενέλαον ἐπίτομα, ἥδιστα, καὶ ἀπέριττα λέγοντα· τὸν δὲ Ὀδυσσέα πολλὰ, εὖ συντεθειμένα, ἐν δεινοτέρῳ ὕφει ἐξυφασμένα, ὡς δεινότερον τὰ τοιαῦτα. Καὶ πρῶτον μὲν εἰσάγει Μενέλαον λέγοντα, ὡς ἰδίου ὄντος τοῦ ἀδικήματος, δεύτερον δὲ Ὀδυσσέα ὡς δεινὸν τὸ λέγειν, καὶ περὶ τὰ τοιαῦτα ἐμπειρότερον· ὃς ὅσα τε διὰ βραχέων διεξῆλθε Μενέλαος, πλατύτερον ἐκτίθησι, καὶ ἀφ᾽ ἑαυτοῦ, ὅσα ἐκεῖνῳ λέλειπται, προστίθησι.

### Α΄. Μενέλαος.

§ 1. Εἰ μὲν ἐβούλετο Ἀλέξανδρος, ὦ Τρῶες, κἂν κατὰ μικρὸν εἶναι δίκαιος, οὔτε ἐκκλησίας νῦν ἔδει οὔθ᾽ ὅπλων,[2] οὔτε

§ 32. 2. Τί με πρᾶξαι.) Ἐπανάληψις· διὰ γὰρ τὰ μεταξὺ παρεμπεσόντα τὸ Τί, πολὺ τοῦ ῥήματος ἀποστὰν, οὐκ εὐξύνετον ἔχει τὴν ἀπόδοσιν· ὅθεν ἡ ἐπανάληψις ὑπομονὴν τῆς ἀποδόσεως ποιεῖται. — 3. Τὸ ἐπ᾽ ἐμαυτῷ.) Κατὰ τὸ ἐπ᾽ ἐμαυτῷ· ἤτοι ὅσον ἐστὶν ἐπ᾽ ἐμοί.

§ 1. 2. Οὔθ᾽ ὅπλων καὶ τλ.) Οὐκ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ι.Α.Μ.Σ.Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

πρεσβείας. Ἀλλ' ἡμεῖς τ' ἂν οἴκοι διετρίβομεν ἐν πᾶσιν ἀγαθοῖς, ὑμῖν τ' ἂν ἔξω φόβων[3] καθειστήκει τὰ πράγματα. Ἐπειδὴ δὲ τὴν τοῦ δικαίου τάξιν[4] δευτέραν πεποίηται τῆς ἡδονῆς, ἥκομεν, ὦ Τρῶες, ἀδικήσοντες μὲν οὐδένα, τὰ δὲ ἡμέτερα αὐτῶν[5] κομιούμενοι, ἐάν περ ἄρα ἐξῇ.[6]

§ 2. Τὸ μὲν οὖν στρατόπεδον τῶν Ἀχαιῶν ἀπὸ τῶν τειχῶν ὁρᾶτε δήπου, καὶ τὸ πλῆθος ὅσον, καὶ τῆς παρασκευῆς τὸ μέγεθος. Ἡμεῖς δὲ τοσαύτῃ προνοίᾳ κεχρήμεθα, τοῦ μηδὲν ἀνεπιεικὲς ποιεῖν, ὥστε καὶ τὰ ὅπλα παραστήσαντες, προτέροις χρώμεθα τοῖς λόγοις. Ἵν' εἰ μὲν ἀπὸ τῆς πρεσβείας[2] τῶν δικαίων τύχωμεν, εὐθὺς ἀπίωμεν· εἰ δὲ μή, τά γε δεύτερα[3] πράττωμεν. Οὔτε γὰρ εἰς ἔργον παραχρῆμα καθίστασθαι, τῶν ἡμετέρων τρόπων,[4] ἀπράκτου δὲ[5] τῆς πρεσβείας ἀπελθούσης, ἡσυχάζειν οὐκ ἔνεστιν. Ἔστι τοίνυν ἐφ' ὑμῖν, ἢ περὶ πλείονος ποιήσασθαι[6] τὴν ἡδονὴν Ἀλεξάνδρου τῆς ὑμετέρας αὐτῶν ἀσφαλείας, ἢ μετὰ τῆς Ἑλένης[7] ἀπηλλάχθαι καὶ τοῦ πολέμου.

§ 3. Μέχρι μὲν οὖν τῆς παρούσης ἡμέρας Ἀλεξάνδρῳ μόνῳ τὴν ἁρπαγὴν λογιζόμεθα, καὶ τῶν εἰς ἡμᾶς ἠσελγημένων οὐδὲν ἀπὸ τοῦ κοινοῦ τῶν Τρώων πεποιῆσθαι νομίζομεν. Τὸ δὲ τῆς νῦν ἐκκλησίας τέλος, ἢ βεβαιώσει ταύτην τὴν δόξαν, ἢ τὸ μὲν ἔργον ἐκείνου, τὸ δὲ βούλευμα κοινὸν ἁπάντων ἀποδείξει. Ἐν μὲν γὰρ τῷ τὴν Ἀλεξάνδρου θεραπεύειν χάριν,[2] κοινωνεῖν ἐστὶ τῶν πεπραγμένων, ἐν δὲ τῷ παρὰ τὴν ἐκείνου γνώμην μέτριόν τι ποιεῖν ἐθέλειν, ἐν ἐκείνῳ τὴν μέμψιν ὁρίζει.

---

ἦν ἀνάγκη ἐλθεῖν ἡμᾶς μεθ' ὅπλων· καὶ ὑμᾶς παρασκευάζεσθαι ὅπλοις ἀπαντῆσαι· οὔτε ἐμὲ καὶ τοὺς σὺν ἐμοὶ ἐλθεῖν πρὸς ὑμᾶς πρεσβεύσοντας, οὔθ' ὑμᾶς εἰς ταύτην συνελθεῖν τὴν ἐκκλησίαν σκεψομένους περὶ τοῦ συνοίσοντος. — 3. Ὑμῖν τ' ἂν ἔξω φόβων) Καὶ ὑμεῖς ἀφόβως τὸν βίον διήγετε. — 4. Τὴν τοῦ δικαίου τάξιν.) Ἐπειδὴ δηλ. προετίμησε τὴν ἡδονὴν τῆς δικαιοσύνης. Εἴρηται κατὰ περίφρασιν. — 5. Τὰ ἡμέτερα αὐτῶν.) Τὸ Αὐτῶν παρέλκει· ἔστι δὲ κατ' ἐπίτασιν ὡς τό, Ἡμῶν αὐτῶν. — 6. Ἐάν περ ἄρα ἐξῇ.) Δοῦναι ἡμῖν ταῦτα δηλ.

§ 2. 2. Ἀπὸ τῆς πρεσβείας.) Ἤτοι Διὰ τῆς πρεσβείας. — 3. Τά γε δεύτερα.) Ὅπερ ἐστὶ· πολέμῳ χρησόμεθα· Τὸ δέ γε εὐκτικόν, ἵνα τὸ τοῦ πολέμου ἀμφίβολον φαίνηται. — 4. Τῶν ἡμετέρων τρόπων.) Ἐννοεῖται· Ἴδιόν ἐστιν. — 5. Ἀπράκτου δέ.) Ὁ Δέ, διὰ τὸ ἐν τῷ Οὔτε, δὲ, ἐπιφέρεται. — 6. Περὶ πλείονος ποιήσασθαι.) Περίφρασις ἀντί. Ἢ ἀποδεῖξαι προτιμοτέραν τὴν ἡδονὴν Ἀλεξ. καὶ τλ. Σημείωσαι δὲ ὅτι Περὶ πλείονος ποιοῦμαι, σημαίνει τὸ Προτιμῶ· τὸ δὲ Περὶ πλείονος ποιῶ τὸ Ἀποκαθίστημι προτιμότερον· ἄλλως γὰρ ἔδει Ποιήσασθαι εἰπεῖν. — 7. Μετὰ τῆς Ἑλένης.) Ἤτοι ὁμοῦ τῷ ἀπαλλαχθῆναι τῆς Ἑλένης, ἀποδόντας ἡμῖν ἀπαλλαχθῆναι· καὶ τλ. Σημείωσαι δὲ τὸ Ἀπηλλάχθαι κατὰ παρακείμενον ὡς ὀνοματικόν· ἀλλ' ἐπειδὴ μέλλον τι σημαίνει, τοῦτο δὲ κατ' ἀνάλυσιν τελικῶς ὁ ἀόριστος, ἔδει κατ' ἀόριστον ἐνεχθῆναι.

§ 3. 2. Θεραπεύειν χάριν.) Οἷον· Θεραπεύοντες μὲν τὸν Ἀλέξανδρον, ἵν' αὐτῷ χαρίσησθε, κοινωνοὶ γένεσθε τῶν πεπραγμένων· ποιοῦντες δέ τι παρὰ τὴν ἐκείνου βούλησιν, ἐκεῖνον μόνον ἄξιον μέμψεως ἀποδείκνυσθε.

§ 4. Ἀεὶ μὲν οὖν ἔμοιγε σύνηθες μὴ μακροὺς[2] ὑπὲρ τῶν πραγμάτων ἀποτείνειν τοὺς λόγους. Καὶ τοῦτ' εἰκότως οὕτω μοι δοκῶ ποιεῖν. Ὑπὲρ μὲν γὰρ τῶν ἀδίκων οὐδ' ἂν εἴποιμι τὴν ἀρχήν· τὰ δὲ δίκαια, βραχείας ἡγοῦμαι δεῖσθαι ῥήσεως. Οἶμαι δὲ καὶ εἰ μακρολογεῖν εἰώθειν, τό γε παρὸν πρᾶγμα συστεῖλαι ἂν[3] ὡς εἰς ἐλάχιστον τοὺς λόγους. Τουτὶ γὰρ μόνον τῶν ἁπάντων[4] οὐδὲν ἀπαιτεῖ ποικίλον, οὐδὲ σοφόν, ἀλλ' ἀπὸ ψιλῆς τῆς ἐρωτήσεως, ἑλεῖν ἐστὶ τὸν ἀνθιστάμενον.

§ 5. Καί μοι ἀπόκριναι πρὸς Διὸς ξενίου, Ἀλέξανδρε. Ἔλαβές τι τῶν οὐ σοὶ προσηκόντων; Οὐκοῦν ἀπόδος.[2] Ἔλαβες ἀδίκως; Οὐκοῦν προσοφείλεις δίκην. Δεῖ γὰρ δήπου δυοῖν θάτερον, ἢ τὸ μηδὲν εἰληφέναι δεικνύειν, ἢ τοῦθ' ὁμολογοῦντα μηδὲν ἀντιτείνειν ἔτι. Ὡς μὲν οὐκ ἀφείλου με τὰ τιμιώτατα πάντων, οὐκ ἀξιώσεις ἀρνεῖσθαι· ἀκούω γὰρ σεμνύνεσθαί σε τοῖς ἀδικήμασι. Τούτου δὲ οὕτως ἔχοντος, ὁ τοῦ δικαίου λόγος ἀποστῆναί σε τῶν ἡμετέρων ἔταξε. Ἐφ' ἃ τῷ κοινῷ μὲν νόμῳ τῶν ξένων εἰσεδέχθης, διέθηκας δὲ, τῶν πολεμίων πικρότερον.

§ 6. Μὴ γὰρ οἴεσθε τὴν ἐπιβουλὴν ἡμῖν αὐτὸν ἐμφανῆ καταστήσαντα, τοσαῦτα δεδυνῆσθαι. Μηδὲ οὕτω, μήτε τοῦτον εἶναι θαυμαστὸν, μήθ' ἡμᾶς ὑπτίους, ὥστε τὸν μὲν ἐκ προῤῥήσεως ταῦτ' ἂν ποιῆσαι, ἡμᾶς δὲ προειδότας ταῦτ' ἂν παθεῖν. Ἀλλ' ὅπως ἔσχε τὸ πρᾶγμα, ἀκούσατε. Ἀλέξανδρος μὲν γὰρ οὐχ ὡς ἔμελλε τ' ἀληθὲς φυλάξειν, ἀλλ' ὡς ᾤετο αὐτῷ συνοίσειν, οὕτως ἴσως πρὸς ὑμᾶς ἀπήγγελκε, κλέπτων ψευδεῖ λόγῳ τὴν πονηρίαν. Οὐδεὶς γὰρ πώποτε τῶν ἠδικηκότων ὡμολόγηκεν ἃ τετόλμηκεν· ἀλλὰ πάντα τρόπον διαστρέφουσι τ' ἀληθὲς, ἐκ μὲν τῶν ἀδικημάτων πλέον ἔχειν, ἐκ δὲ τῆς ἀρνήσεως χρηστοὶ δοκεῖν εἶναι βουλόμενοι. Τὸ μέντοι πρᾶγμα τοῦτον ἐσκευωρήθη[2] τὸν τρόπον.

§ 7. Κατέπλευσεν εἰς τὴν Λακωνικὴν[2] Ἀλέξανδρος, σχῆμά τι περιβεβλημένος οὐ φαῦλον, καὶ θεραπείαν[3] ἐπαγόμενος, ἀφ' ἧς εἰκάζετο, οὐ τῶν τυχόντων εἶναι. Ἀναβὰς δὲ εἰς τὴν Σπάρτην, τά τε ἄλλα πρὸς τοὺς ἐντυγχάνοντας ἐφιλανθρωπεύετο, καὶ προό-

---

§ 4. 2. Μὴ μακρούς.) Ἐκ τοῦ Ὁμ. Ἰλ. Γ. 211.

Ἤτοι μὲν Μενέλαος ἐπιτροχάδην ἀγόρευε.

Παῦρα μὲν, ἀλλὰ μάλα λιγέως· ἐπεὶ οὐ πολύμυθος.

Οὐδ' ἀφαμαρτοεπής.

— 3. Συστεῖλαι ἄν.) Ἐννοεῖται, Ἀπαιτεῖ· ὡς ἐκ τοῦ ἑξῆς δῆλον. — 4. Μόνον τῶν ἁπάντων.) Ὑπερθετικῶς τὸ Μόνον.

§ 5. 2. Οὐκοῦν ἀπόδος.) Ὡς ἀποκριθέντα καὶ συγκατανεύσαντα εἰς τὴν ἐρώτησιν Ἀλέξανδρον ἐννοεῖ.

§ 6. 2. Ἐσκευωρήθη.) Μετ' ἐπιβουλῆς δηλ. ἐγένετο.

§ 7. 2 Λακωνικήν.) Γῆν, ἢ Χώραν. — 3. Καὶ θεραπείαν.) Θεράποντας

τητα πολλὴν καὶ σωφροσύνην πλαττόμενος, ἐδεῖτο ξενίζεσθαι·[4] ἀκούων δ' ἐγὼ ταῦτα καὶ πρὸ τῶν ἄλλων ἐμαυτῷ[5] προσήκειν ἡγούμενος τῷ ξενίῳ Διῒ πάντα ὑπηρετεῖν, ἀνέῳξά τε τὴν οἰκίαν, καὶ εἰσήγαγον ἄσμενος ἐπὶ παῖδά τε καὶ εἰς γυναῖκα,[6] τὰ τιμιώτατα, οὐδὲν, ὦ Τρῶες, ἐννοῶν ὧν ἐσύστερον[7] ἔπασχον. Συναγωγέα γὰρ τοῦ πράγματος ἡγούμενος εἶναι τὸν Δία,[8] τὴν αὐτὴν ᾤμην αἰδῶ σώζεσθαι πρός τὸν Θεὸν, ὑπό τε τοῦ δεξαμένου τὸν ξένον, καὶ τοῦ τετυχηκότος φιλανθρωπίας, μᾶλλον δὲ πλείω παρὰ τοῦ ξένου· καὶ τοσούτῳ γε ὅσῳπερ ὁ παθὼν εὖ, τοῦ πεποιηκότος μείζω κεκέρδακεν· ἐπεὶ καὶ νῦν ἡμεῖς ἐγώ τε καὶ Ὀδυσσεὺς Ἀντήνορα[9] τουτονὶ τὸν βέλτιστον, πῶς οἴεσθε· θαυμάζομεν, καὶ συνευχόμεθα τὰ βελτίω, καὶ βουλοίμεθ' ἂν αὐτῷ μηδὲν τοιοῦτον[10] περὶ τὸν οἶκον συμβῆναι.

§ 8. Οὕτω τοίνυν καλὴν καὶ γενναίαν ἐμοῦ δεξιότητα περὶ τὸν ξένον ἐνδεικνυμένου· καὶ τοῦ χρόνου προϊόντος, εἰπάτω παρελθὼν Ἀλέξανδρος, εἴ τινος δεηθεὶς ἠτύχησεν. Εἰ τῷ πλείονι τῆς διατριβῆς δυσχεραίνοντες, ὤφθημεν, εἰ μικρὸν, ἢ μεῖζον ἀποστραφέντων ᾔσθετο. Ἢ μικροψυχίαν ἡμῶν οἶδε καταγνοὺς,[2] ἢ πρὸς ἑαυτὸν ενιδὼν ἀηδίαν, εἴ τινος ὅλως ἐπιλαμβάνεται τῶν περὶ ταῦτα, λεγέτω, δεικνύτω, καὶ πολλοστὸν ὧν ὀφείλομεν[3] ὁμολογήσομεν πεπονθέναι. Ἀλλ' οὐκ ἂν ἔχοι,[4] διόπερ οὐδ' ἀνίσταται.

§ 9. Ὄντων οὖν ἡμῶν ἀφυλάκτων, ὡς ἂν[2] πρὸς φίλον καὶ γνώριμον, καὶ τῆς πίστεως[3] εἰς ῥαθυμίαν ἀγούσης, πῶς ἄν τις χρήσαιτο τοῖς λοιποῖς; μετέθηκεν, ὦ Τρῶες, τὸν περὶ ταῦτα θεσμὸν[4] εἰς πᾶν τοὐναντίον· καὶ ἠμείψατο τὴν μὲν φιλανθρωπίαν

---

δηλ. ἔχων μεθ' ἑαυτοῦ. — 4. Ξενίζεσθαι.) Ξενίζομαι τὸ εἰς ξενίαν δέχομαι· ἔστι δὲ ξενία τὸ τοὺς ξένους ἀποδέχεσθαι καὶ περιποιεῖσθαι εἰς τὸν οἶκον εἰσαγαγόντας. — 5. Ἐμαυτῷ.) Διὰ τὸ εἶναι καὶ αὐτὸν ἐκ γένους οὐ τοῦ τυχόντος. — 6. Ἐπὶ παῖδα τε καὶ εἰς γυναῖκα.) Παῖδα μὲν τὴν Ἑρμιόνην, ἣν ἔσχεν ἐξ Ἑλένης· γυναῖκα δὲ τὴν Ἑλένην· κάλλει ὑπερφέρουσαν, ταῦτα δέ εἰσι τὰ τιμιώτατα ἐν ἀνθρώποις. — 7. Ὧν ἐσύστερον.) Τὸ Πάσχω αἰτιατικῇ συνεκδοχικῶς συντάσσεται· ἡ δὲ γενικὴ Ἀττικῶς τὴν τοῦ προηγουμένου ὑποδύεται πτῶσιν· οἷον. Οὐδὲν ἐκείνων, ἃ ἔπασχον. — 8. Τὸν Δία.) Ὁ γὰρ Ζεὺς, ὡς ἔφορος τῆς ξενίας, καὶ ξένιος λέγεται. — 9. Ἀντήνορα.) Ἐκ τοῦ Ὁμήρου ταῦτα· ὁ γὰρ Ὅμηρός φησιν· ὅτι Ἀντήνωρ ἐξένησε Μενέλαον καὶ Ὀδυσσέα. Ὅθεν τίθησιν λέγοντα Ἀντήνορα πρὸς τὴν Ἑλένην. Ἰλ. Γ'. 205.

Ἤδη γὰρ καὶ δεῦρο ποτ' ἤλυθε δῖος Ὀδυσσεὺς,
Σεῦ ἕνεκ' ἀγγελίης, σὺν ἀρηϊφίλῳ Μενελάῳ.
Τοὺς δ' ἐγὼ ἐξείνισσα, καὶ ἐν μεγάροισιν ἐφίλησα.

— 10. Μηδὲν τοιοῦτον.) Οἷον συνέβη ἐμοί.

§ 8. 2. Οἶδε καταγνούς.) Γνωρίσας δηλ. τὴν μικροψυχίαν ὑμῶν, κατέγνω διὰ τοῦτο. — 3. Ὧν ὀφείλομεν.) Ἀττικῶς, ἀντὶ Ἃ ὀφείλομεν. — 4. Ἀλλ' οὐκ ἂν ἔχοι.) Ἀλλ' οὐκ ἂν δυνηθείη τοιοῦτό τι καταγνῶναι ἡμῶν.

§ 9. 2. Ὡς ἄν.) Ὥσπερ ἂν εἴη τις ἀφύλακτος πρὸς φίλον καὶ γνώριμον. — 3. Καὶ τῆς πίστεως.) Καὶ τούτου, δι' ὅ,τι ἐπιστεύσαμεν αὐτῷ, ἄγοντος εἰς ῥαθ. — 4. Τὸν περὶ ταῦτα θεσμόν.) Τὸν

ἀδικίᾳ, τὴν δὲ φιλοξενίαν πονηρίᾳ, τὴν δ' ὑποδοχὴν ἁρπαγῇ, τὴν
δὲ τιμὴν ὕβρει, τὴν δὲ πίστιν ὠμότητι. Οὐ θεοὺς φοβηθεὶς, οὐ
τοὺς εὖ πεποιηκότας αἰδεσθεὶς, οὐχ ὑμᾶς αἰσχυνθεὶς· οὐ τὸν πα-
τέρα Πρίαμον, ὃν ἀκούομεν περί τε τὸ θεῖον ἐσπουδακέναι, καὶ
ὅλως ἐν φροντίδι πεποιῆσθαι[5] τὸ μηδὲν δοκεῖν ἐξαμαρτεῖν. Ταῦ-
τα πάντα, καὶ ἔτι πλείω τούτων παρὰ φαῦλον τιθέμενος,[6] ἀφεί-
λετο μὲν τὸ γύναιον, προσαφείλετο δὲ καὶ χρημάτων ὄγκον· οἰκέ-
τας δὲ σιωπῶ, καὶ πολλὰ πρὸς τούτοις ἕτερα· τί γὰρ ἄν τις
μηκύνοι πρὸς ἀκριβῶς εἰδότας; Ἐκ γὰρ ὧν ἧκεν εἰς ὑμᾶς ἄγων,
ὅσων ἡμᾶς ἀπεστέρηκεν, ἔδειξε καὶ πλουτεῖ νῦν ἐκ τῶν ἡμετέ-
ρων κακῶν.

§ 10. Καὶ ὅς τις βούλεται τὴν παροινίαν σαφῶς καταμαθεῖν,
οὐχ ἑτέρου δεήσεται, ἀλλ' εἰσελθὼν οἴκαδε ὡς Ἀλέξανδρον, ἐρέσθω.
Τουτὶ τὸ γύναιον, ὦ τᾶν,[2] πόθεν ἔχεις λαβὼν, καὶ τίνι τρόπῳ;
ἆρ' ὥσπερ ὁ πατήρ σου τῇ μητρὶ τῇ σῇ[3] συνῴκηκεν, οὕτω καὶ
αὐτὸς Ἑλένῃ συζῇς νόμου τῆς κοινωνίας ἡγησαμένου; ἢ γὰρ ψεύ-
σεται τὴν πρᾶξιν αἰσχυνόμενος, ἢ τ' ἀληθῆ λέγων ὁμολογήσει τὸ
κακούργημα.

§ 11. Μηδεὶς ὑμῶν εἰ μετὰ παῤῥησίας οἱ λόγοι γίγνοιντο,
τοῦτο ποιείσθω δυσχερές· πρῶτον μὲν γὰρ οὔτ' ἂν ἡμεῖς τῶν δι-
καίων τύχοιμεν, οὔθ' ὑμεῖς ἃ προσήκει γνοίη τε, εἰ μὴ τοὺς προ-
σήκοντας λόγους τὰ πράγματα λάβοι. Ἔπειτα δὲ ἐντεῦθεν, καὶ
μάλιστα ἄν τις κατίδῃ, πόσην ἔχει τὰ πεπραγμένα τὴν ἀτοπίαν.
Εἰ γὰρ,[2] ἐάν τις ἃ πέπονθεν ἀποκεκαλυμμένως εἴπῃ, τοῦτο τῶν
δεδρακότων ὕβρις, πῶς εἰκὸς τοὺς πεπονθότας, ὑπ' αὐτῶν τῶν ἔργων
διακεῖσθαι; Χωρὶς δὲ τούτων οὐκ ἔνι τὴν πρεσβείαν φανῆναι δι-
καίαν, ἂν μὴ τὸν εἰργασμένον ἀδικοῦντά τις ἐπιδείξῃ.

§ 12. Ὁρᾶτε οὖν ὡς ἁπλᾶ καὶ δίκαια παρεχόμεθα. Δύο γὰρ
δήπου τοὺς ἐγκαλουμένους ἀφιέναι τῆς αἰτίας πέφυκεν, ἢ τὸ μηδέ-
τιοῦν πεποιηκέναι[2] τὴν ἀρχὴν, ἢ τὸ τῆς δικαίας εἶναι τάξεως τὰ
πεπραγμένα. Ὅταν οὖν μήτ' ἀρνεῖσθαι τὴν ἁρπαγὴν οἷός τε ᾖ μήθ'
ὡς οὐκ ἀδίκως[3] ἐτολμήθη διδάσκειν, δῆλον δήπου τὸ λειπόμενον.

---

περὶ τὰ τῆς πίστεως νόμον. — 5. Ἐν
φροντίδι πεποιεῖσθαι.) Περίφρασις ἀντὶ
Φροντίζειν. — 6. Παρὰ φαῦλον τιθέ-
μενος.) Παρ' οὐδὲν τίθεσθαι, ἡγεῖσθαι,
ἢ ποιεῖσθαι· καὶ παρὰ φαῦλον τίθεσθαι,
ἡγεῖσθαι, ἢ ποιεῖσθαι, σχεδὸν ταὐτοδύ-
ναμα· καὶ σημαίνει τὸ Οὐδὲν λογίζεσθαι
δι' οὐδὲν νομίζειν.

§ 10. 2. Ὦ τᾶν.) Κλητική· ἥν τινες
ἀπὸ τοῦ Ἔτης δηλοῦντος τὸν συνήθη
καὶ φίλον φησὶ γίνεσθαι· ὦ ἔτα· καὶ
προσθέσει τοῦ ν ὦ ἔταν. Δωρικῶς δηλ.
καὶ ἀφαιρέσει τοῦ ε. Ὦ τᾶν. — 3.
Τῇ μητρὶ τῇ σῇ.) Ἑκάβῃ δηλ.

§ 11. 2. Εἰ γάρ.) Εἰ γὰρ ἐστὶν ὕ-
βρις τῶν δεδρακότων τὸ, ἐάν τις ἀποκε-
καλυμμένως εἴπῃ, ἃ πέπονθεν· πῶς καὶ τλ.

§ 12. 2. Ἢ τό . . . πεποιηκέναι.) Τὰ
ὀνοματικὰ ταῦτα ἀπαρέμφατα ἀναλύε-
ται εἰδικῶς διὰ τοῦ Ὅτι. — 3. Οὐκ
ἀδίκως.) Ἀντὶ Δικαίως· δύο ἀρνήσεις
ἀντὶ μιᾶς καταφάσεως.

Ε.Υ.Α. της Κ.Π.Π. ΙΩΑΝΝΙΝΑ 2006

§ 13. **Τίς** οὖν ὁ σεμνὸς λόγος; Ἔλαβον, φησὶ, καὶ ἔχω, καὶ μὴ ἐνόχλει. Ἀλλ' οὐκ ἀρκεῖ λαβεῖν, οὐδ' ἔχειν, Ἀλέξανδρε. Ἔστι γὰρ καὶ λαβεῖν, ὅθεν οὐκ ἄξιον, καὶ ἔχειν τὰ ἀλλότρια. Οὐ γὰρ ἐν τῷ λαβεῖν ἐστὶ τὸ δικαίως κεκτῆσθαι· ἀλλ' ἐν τῷ δικαίως κτήσασθαι τὸ χωρὶς ἐγκλημάτων ἔχειν. Οὐκοῦν δεῖ τὴν λῆψιν ἁπλῆν σκοπεῖν, ἀλλὰ πολὺ πρὸς ταύτης τὸν τρόπον· ἀπὸ γὰρ τούτου, κἀκείνη δοκιμάζεται. Ὁρᾷς, ὡς οὐδὲ τοῖς ἱεροσύλοις ἀκίνδυνον, τὸ τὰ τῶν θεῶν εἰληφέναι;[2] Καί τοι γε[3], εἰ τὸ ἔχειν ἰσχυρὸν ἦν ἐχρῆν ὁμολογοῦντας ἔχειν, ἀπηλλάχθαι πραγμάτων. Ἀλλ', οἶμαι,[4] τοῦτ' ἐστὶ, καὶ οὐδὲν ἔγκλημα ἕτερον ἄρα, τὸ τὰ μὴ προσήκοντα ἔχειν. Οὕτως οὐκ ἀρκεῖ τὸ λαβεῖν, ἀλλὰ καὶ προσεῖναι δεῖ τὸ χωρὶς ἀδικήματος. Οὐδὲ γὰρ, εἰ τὸν πατέρα τὸν αὐτοῦ παρώσας Ἀλέξανδρος, καὶ τὸ σκῆπτρον ἁρπάσας, αὐτὸς ἀντ' ἐκείνου τοῖς ὑμετέροις ἐφεστηκέναι πράγμασιν ἠξίου, μέτριον ἄν τι ποιεῖν ἐνομίσθη καὶ ἀνεκτόν. Οὐδ' ἂν ἤνεγκε σιωπῇ οὔτε Πρίαμος ὁ ἠδικημένος, οὔθ' ὑμεῖς οἱ συνειδότες, ἀλλ' εὐθὺς ἂν ἅπαντες ᾤεσθε δεῖν καταλύειν, ὡς οὐχ ὅσια ποιοῦντα. Μὴ δὴ τοῦτο λέγε, ὡς ἔλαβες. Ἀλλὰ δεῖξον εἰ μηδεὶς οἷς ἔλαβες[5] ἠδίκηται. Τὸ γὰρ δίκαιον, ἄντ' ἐπ' ἐμοῦ τις, ἄντ' ἐπὶ Πριάμου λογίσηται τὴν αὐτὴν ἰσχὺν ἔχει.

§ 14. Καὶ μὴν πολέμιοι[2] γε, φησίν, ἡμεῖς οἱ ταύτην ἔχοντες[3] τὴν ἤπειρον, καὶ ὑμεῖς οἱ τὴν ἑτέραν.[4] Τὰ δὲ τῶν δυσμενῶν ἔξεστιν ἄγειν, καὶ φέρειν, καὶ λῄζεσθαι. Καλῶς[5] Ἀλέξανδρε. Παρὰ δὲ τοῖς ἐχθροῖς καταλύειν ἔξεστι, καὶ ξενίων τυγχάνειν, καὶ φιλανθρωπίας ἀξιοῦσθαι; Σὺ τοίνυν ὧν ἐδεήθης, τούτων ἔτυχες. Ἐχρῆν δέ σε, ὦ βέλτιστε, τὴν ἀρχὴν[6] ἀποφεύγειν οἰκίαν ἀνδρὸς δυσμενοῦς, καὶ μηδαμῶς ἀγαπᾷν τὰς παρὰ τῶν πολεμίων εὐεργεσίας, μηδὲ ὁμωρόφιον γίνεσθαι τοῖς ἐκ παλαιῶν χρόνων,[7] ὡς σὺ φῄς, εἰς ἔχθραν διῃρημένοις. Ἢ τότε μὲν ὡς ἐπιτηδείοις ἐχρῶ, μικρὸν δὲ ὕστερον ὡς πολεμίους ἐκάκους. Καὶ μὴν οὐδ' ἐν τῷ μεταξὺ παρ'

---

§ 13. 2. Τὰ τῶν θεῶν εἰληφέναι.) Οἱ γὰρ ἱερόσυλοι, λαβόντες τὰ τῶν θεῶν, οὐδένα ἀδικοῦσι μήτε θεῶν μήτε ἀνθρώπων· οὔτε γὰρ θεοὶ ἐνενδεεῖς τῶν τοιούτων· οὔτε ἄνθρωποι οὐδὲν ὠφελοῦνται· οὐδενὸς γὰρ εἰσὶ κτήματα· καὶ μέντοι οἱ ἱερόσυλοι διὰ τὸν τρόπον καταδικάζονται. — 3. Καί τοι γε.) Προσθετικός. — 4. Ἀλλ', οἶμαι καὶ τλ.) Ἀλλ' οἶμαι, πάντως τοῦτο ἐστι, καὶ οὐδὲν ἕτερον τὸ ἔγκλημα· τὸ τὰ μὴ προσήκοντα δηλ. ἔχειν· καὶ ἔστιν ὁ Ἄρα βεβαιωτικός. — 5. Οἷς ἔλαβες.) Ἀττικῶς ἤτοι Ἐκείνοις, ἃ ἔλαβες.

§ 14. 2. Πολέμιοι.) Αἰνίττεται δὲ τοῦτο λέγων τὸ Περὶ Ἡρακλέους· οὗτος γὰρ, εἷλε τὸ Ἴλιον, Λαομέδοντα κτείνας. Ἀπολλοδ. Β'. κδ'. 13. — 3. Οἱ ταύτην ἔχοντες.) Οἱ τὴν Ἀσίαν δηλ. οἰκοῦντες. ἐπὶ τῆς Ἀσίας γὰρ τὸ Ἴλιον. — 4. Οἱ τὴν ἑτέραν.) Ἔχοντες ἤπειρον· τὴν Εὐρώπην δηλ. ἐπὶ τῆς Εὐρώπης γὰρ ἡ Ἑλλάς. — 5. Καλῶς.) Εὖ ἔχει, καλῶς λέγεις· συγκατατίθεται γὰρ, ὅπου ἐπάγῃ τὴν ἀπάντησιν. — 6. Τὴν ἀρχήν.) Κατὰ τὴν ἀρχὴν ἤτοι ἐξ ἀρχῆς. — 7. Ἐκ παλαιῶν χρόνων.) Ἐκ τῆς ἁλώσεως Τροίας ὑφ' Ἡρακλέους, Λαομέδοντος

ἡμῶν εἰς σὲ δυσχερὲς ὑπῆρξεν οὐδέν. Οὐδ' ἂν ἔχοις εἰπεῖν. Εἰ μὲν οὖν ἐξ ἀρχῆς πολεμίους ἐνόμιζες, τί οὐκ ἔλεγες; τί δὲ οὐ σύμφωνον παρεῖχες τῇ γνώμῃ τὸ σχῆμα; Εἰ δ' ὕστερον μεταβαλών, ᾤου δεῖν λυπεῖν, εἰπὲ πρὸς θεῶν, ἀνθ' ὅτου; Ἀλλ' οὐκ ἂν ἔχοις. Ἀλλὰ πρᾶγμα πάντων ἀνοσιώτατον, εἰς νοῦν λαβὼν[7] εἰσῆλθες μὲν ὡς ξένος, ἀπῆλθες δὲ ὡς δυσμενής. Κλέψας δὲ τὴν ἐπιβουλήν, εὔφημον ὄνομα τοῖς κακουργήμασι τίθεσαι.[8] Ἀλλ' οὐ δὴ πείσας οὐδένα ἀνθρώπων. Πόθεν; Οὐ γὰρ τοῖς ῥήμασιν ἕπεται τῶν πραγμάτων ἡ φύσις. Τῇ δὲ φύσει τῶν πραγμάτων τὰς προσηγορίας ἀκολουθεῖν ἄξιον.

§ 15. Εἰ μὲν οὖν πλοίοις μακροῖς[2] καὶ στρατοπέδῳ καταλάμποντι τοῖς ὅπλοις προσενεχθεὶς τῇ Λακεδαίμονι, καὶ τὴν ἔχθραν ἐν φανερῷ καταστήσας, καὶ χεῖρα ἀνταράμενος, καὶ βέλος ἀφιείς, καὶ δόρυ δεξάμενος, ἐνεγκών, ἢ τῆς τύχης, ἢ τῆς ἀρετῆς νίκην παρασχούσης· εἷλε μὲν τὸ ἄστυ, τῶν δὲ σωμάτων ἐκράτησεν, ἐν λαφύρων δὲ μέρει[3] τὴν Ἑλένην ἐκτήσατο, ἐχέτω, τρυφάτω. Λῃροῦμεν ἡμεῖς, ἔγκλημα ποιούμενοι τοῦ πολέμου τὰ ἆθλα. Εἰ δὲ πάντα εἰρηναῖα προδείξας, τὸν κατάπλουν, τὴν σκευήν, τοὺς λόγους, τὸ σχῆμα, τὴν ὁμιλίαν, τὰς διατριβάς, ἐναντίον ἐξήγαγε τῷ προοιμίῳ τῷ τέλος· ἴστω ὅτι πολὺ διενήνοχε νίκη κλοπῆς, καὶ πολέμου κράτος μεμηχανημένης ἀπάτης. Τὸ μὲν γάρ[4] τοῦ κρείττονος ἀπόδειξιν ἔχει·[5] τὸ δὲ[6] τοῦ χείρονας εἶναι τοὺς ἀπάτῃ πειρωμένους ἑλεῖν, ἃ δι' ἀνδρείας οὐ δεδύνηνται. Τὸ μὲν οὖν εἰς τοὺς κρείττους τὰ τῶν ἡττόνων κτήματα, λόγον ἴσως ἂν ἔχοι[7], καὶ δίδωσιν[8] ὁ τοῦ πολέμου νόμος. Τὸ δὲ τοὺς μηδ' ὁμολογῆσαι τὴν ἔχθραν ὑπομείναντας, τὰ τῶν βελτιόνων λαμβάνειν, εἰς ἀδίκημά τε τελεῖ,[9] καὶ δέοιτ' ἂν[10] ζημίας. Ὅτι μὲν οὖν ὑβρισμένοι, καὶ τὰ δεινότατα πεπονθότες ἐστρατεύσαμεν εἰς τὴν ὑμετέραν γῆν, καὶ οὐκ ἄρχοντες,[11] ἀλλ' ἀμυνόμενοι, καὶ πλὴν ἀναισχυντίας οὐδὲν Ἀλεξάνδρῳ[12] λείπεται, πολλαχόθεν οἶμαι δῆλον εἶναι.

---

βασιλεύοντος. — 7. Εἰς νοῦν λαβών.) Ἐννοήσας. — 8. Τίθεσαι.) Ὅτι δηλ. ὡς πολεμίοις ἐχρήσω ἡμῖν.

§ 15. 2. Πλοίοις μακροῖς.) Ὅπως ἐκαλοῦντο τὰ πολεμικὰ πλοῖα εἰς μῆκος μάλιστα κατεσκευασμένα ἵν' ἐπιτήδεια ὦσιν εἰς μάχην καὶ ἐρεσίαν· ὥσπερ καὶ τὰ φορτηγὰ στρογγύλα ἐλέγετο κοιλίαν ἔχοντα ἱκανὴν πρὸς πλείονα φόρτον. — 3. Ἐν λαφύρων δὲ μέρει.) Ἀντὶ λάφυρον τὴν Ἑλλάδα ἐκτήσ. — 4. Τὸ μὲν γάρ.) Κράτος τοῦ πολέμου, ἤ, ἡ νίκη. — 5. Ἀπόδειξιν ἔχει.) Ἀποδεικνυσιν ὅτι κρείττων ἐστὶν ὁ ποιήσας. — 6. Τὸ δέ.) Ἡ κλοπή, ἡ ἡ ἀπάτη ἀποδεικνυσιν ὅτι χείρους εἰσὶν καὶ τλ. — 7. Λόγον ἴσως ἂν ἔχοι.) Ἴσως δύναται ἔχειν τινὰ ἀπολογίαν· ἢ δικαιολογίαν. Καὶ ἔστι ὁ μὲν Ἂν δυνητικῶς τὸ Ἴσως διστακτικόν· οὐ γὰρ δίκαιον καὶ τοῦτο ἁπλῶς γινόμενον, ἀλλὰ μετά τινος εὐλόγου αἰτίας. — 8. Καὶ δίδωσιν.) Ὡς βέβαιον τοῦτο καθ' ὁριστικὴν ἐξήνεγκεν. — 9. Εἰς ἀδίκημά τε τελεῖ.) Ἀντὶ ἀδίκημά ἐστι — 10. Καὶ δέοιτ' ἄν.) Τὸ εὐκτικὸν μὲν ὡς ἀβέβαιον ἀπὸ μέρους τῶν δικαστῶν· ὁ δὲ Ἂν, δύναμιν δίδωσι καὶ βέβαιον καθιστάναι. — 11. Οὐκ ἄρχοντες.) Χειρῶν ἀδίκων δηλ. — 12. Οὐδὲν Ἀλεξάνδρῳ.) Εἰς ἀπολογίαν [illegible].

§ 16. Ἡμεῖς δὲ πρὸ τῶν χειρῶν[2] τοῖς λόγοις εἰκότως χρώμεθα, πολλῶν ἕνεκα· πρῶτον μὲν, ὅτι τὸ λόγῳ τὰ δίκαια πειρᾶσθαι λαμβάνειν. Ἀλλὰ μὴ τοῖς ὅπλοις ἐπιπηδᾷν, ἀνθρωπικώτερον δήπουθεν. Δεύτερον δὲ οὐκ ἄξιον κρίνομεν, ὧν εἷς ἠδίκησε,[3] παρὰ πάντων τὴν δίκην λαμβάνειν,[4] ὅπερ εἰς πόλεμον καταστᾶσιν ἀναγκαῖον ἤδη γίνεται. Οὐ γὰρ ἔνεστι, τηνικαῦτα τοὺς ἀναιτίους, καὶ τοὺς φαυλοτέρους κρίνειν, ἀλλ' ἀνάγκη τοὺς παραπεπτωκότας ἀπολωλέναι. Ἵνα οὖν μὴ τοῦτο γένηται, μηδ' ὧν οὐκ ἄν τις[5] βούλοιτο λυπῆσαί τινα προαχθῇ, πρεσβείᾳ, καὶ ψήφῳ δεξαίμεθ' ἂν τὰ διάφορα[6] κριθῆναι. Πρὸς δὲ τούτοις[7] μεγάλην μὲν ῥοπὴν ἐν τοῖς τοῦ πολέμου πράγμασι τὴν τοῦ θεοῦ ἡγούμεθα εὔνοιαν. Ταύτην δὲ[8] ὁρῶμεν, οὐ τοῖς θρασυτέροις, ἀλλὰ τοῖς ἐπιεικεστέροις ὑπάρχουσαν. Διὰ τοῦτο, τὸν θυμὸν ἐπισχόντες ἀπὸ πρεσβείας ἀρχόμεθα. Ἵν' εἰ μὲν ἀρκέσει αὕτη πρὸς τὸ τῶν ἀμφισβητησίμων πέρας, μηδενὸς ἔτι προσδεήσειε. Εἰ δὲ μὴ, τῇ τοῦ δαιμονίου συμμαχίᾳ, διὰ τὴν ἐπιείκειαν, πιστεύοντες, οὕτως ἤδη πρὸς τὰ δεύτερα τραπώμεθα. Ὁρᾶτε οὖν ἀμφότερα,[9] καὶ παραθέντες τῷ συλλόγῳ τὰς μάχας, καὶ τοῖς λόγοις τὰ ὅπλα, καὶ πρὸς τὴν παροῦσαν εὐδαιμονίαν ἀπιδόντες, καὶ τὴν ἀπ' ἐκείνου δυσχέρειαν ἐξετάσαντες, γένεσθε τοῦ κρείττονος.[10]

§ 17. Δεῖ δὲ, ὦ Τρῶες, ὑπὲρ τῶν τοιούτων μὴ ῥαθύμως βουλεύεσθαι, ἐκεῖνο εἰδότας, ὡς οὐκ ἔστιν ἅπαξ ἁμαρτάνοντας, αὖθις γενέσθαι βουλῆς κυρίους. Πρὶν μὲν γὰρ ἅψασθαι τοῦ πολέμου ἔνεστιν αὐτῷ καθάπαξ μὴ περιπεσεῖν, λογισμῷ βελτίονι, τὸ προσιὸν ἀναστείλαντας. Εἰσελθόντας δὲ εἰς τὸ ἔργον. Αὐτὰ τὰ πάθη κατέχει μέχρι πόῤῥω. Καὶ τῇ νίκῃ τὰ πολλὰ κρίνεται τὸ τέλος, ἀλλ' οὐ κατὰ συνθήκας μετρίας. Ὁρᾶτε οὖν μὴ, παρὸν γνῶναι[2] τὰ δέοντα, πολεμεῖν ἕλοισθε· τῷ δὲ πολέμῳ λυπηθέντες, αὖθις ἐπιθυμήσητε βουλεύσασθαι, ἡνίκα τοῦτο οὐκ ἔθ' ἕξετε.

---

οὐδὲν ἄλλο λείπεται Ἀλεξάνδρῳ ὅτι μὴ ἡ ἀναισχυντία.

§ 16. 2. Πρὸ τῶν χειρῶν.) Πρὶν δηλ. ἄρξαι χειρῶν ἀδίκων. — 3. Ὧν εἷς ἠδίκησε.) Ἀττικὴ ἡ σύνταξις· ἀντὶ Ἐκείνων, ὧν εἷς ἠδίκησε. — 4. Τὴν δίκην λαμβάνειν.) Λαμβάνω δίκην τινὸς παρά τινος, σημαίνει τὸ Τιμωροῦμαί τινα διά τι ἀδίκημα. — 5. Ὧν οὐκ ἄν τις.) Μηδὲ προαχθῇ τις λυπῆσαι ἐκείνους οὓς οὐκ ἂν βούλοιτο λυπῆσαι. — 6. Τὰ διάφορα.) Ἡ μεταξὺ ὑμῶν διαφορά. — 7. Πρὸς δὲ τούτοις.) Ἡγούμεθα ὅτι ἡ τῶν θεῶν εὔνοια ἐστὶ μεγάλη ῥοπὴ καὶ κλίσις ἐν τοῖς πράγμασι τοῦ πολέμου. Ἐπὶ ζυγοῦ γὰρ οἷον ἱσταμένου τοῦ πολέμου ἡ ῥοπὴ γίνεται μεγάλη ἐν τῇ πλάστιγγι, ἔνθα ἡ τῶν θεῶν προστεθείη εὔνοια. — 8. Ταύτην δέ.) Τὴν εὔνοιαν τῶν θεῶν. — 9. Ἀμφότερα.) Καὶ τὸ χωρὶς μάχης κατὰ τὸ δίκαιον ἀποδοῦναι ἡμῖν τὰ ἡμέτερα· καὶ μετὰ τὴν μάχην λαβεῖν. — 10. Γένεσθε τοῦ κρείττονος.) Μέρος δηλ. ὅπερ ἐστὶν Ἐκλέξατε τὸ βέλτιον.

§ 17. 2. Παρὸν γνῶναι.) Μετοχὴ ἀπόλυτος κατὰ τὰς τῶν ἀπροσώπων.

ΕΡΓ.Δ της Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

§ 18. Μάλιστα μὲν[2] οὖν εἰ καὶ μηδεὶς ἐπῆν ἀγὼν, μηδὲ κίνδυνος, ἐχρῆν αὐτὸ καθ' αὑτὸ τὸ δίκαιον αἰδεσθῆναι. Τοῖς γὰρ οὕτω γνώμης ἔχουσιν,[3] ἐξ οὐρίας[4] φιλεῖ τὰ πράγματα φέρεσθαι. Νῦν δέ γε, εἰ δεῖ μὴ ληρεῖν, οὐδὲ βουλομένοις[5] ὑμῖν ἔνεστιν ἑτέρως ποιεῖν. Οὐχ ὁρᾶτε τοὺς Ἀχαιοὺς κατὰ τῆς ἠϊόνος κεχυμένους καὶ τοῦ πεδίου, καὶ μικρὸν ἀποφαίνοντας τῷ πλήθει τὸν χῶρον; Οὗτοι μέν τοι πάντες ἐκ πολλῶν μὲν συνεληλύθασι πόλεων, μίαν δὲ γνώμην ἐσχήκασιν, ἀμῦναι τοῖς ὑβρισμένοις εἰς τέλος, καὶ τοσαύτῃ μὲν προθυμίᾳ κέχρηνται πρὸς τὰ ἡμέτερα πράγματα, ὅση καὶ χωρὶς ὅρκων ἤρκεσεν ἄν. Τοσαύτη δέ ἐστιν ἡ τῶν ὅρκων ἀνάγκη, ὅση καὶ μὴ βουλομένους προθυμεῖσθαι, πάντως ἂν ἐπαναγκάσαι. Τίς οὕτως ἠλίθιος, ὅστις οὐκ ἂν ἕλοιτο χωρὶς τοῦ τί παθεῖν δεινὸν ἀποδοῦναι ταῦτα, ὧν μετὰ συμφορᾶς ἀποστήσεται, ὅτι νὴ Δί' ἄδηλον τὸ τοῦ πολέμου τέλος, οὐ μὰ τοὺς θεοὺς οὐδαμοῦ τὸ τοῦ παρόντος ἄδηλον, ὅτι μηδὲ τοῦτ' ἄδηλον, πότερον ὁ τῆς δικαιοσύνης καρπὸς, ἢ τῆς πονηρίας ἀμείνων· καὶ πότερον ἐκείνην τὴν πρᾶξιν οἱ θεοὶ τιμῶσιν ἢ τοῖς τάδε πράττουσι συναίρονται. Εἰ γὰρ μηδέτερον τούτων ἀμφισβητήσιμον, κἀκεῖνο σαφὲς εὐθὺς τὸ μεθ' ὧν ἂν ᾖ τῶν κρειττόνων[6] μερὶς, τῶν ἐναντίων κρατεῖν.

§ 19. Περὶ τοίνυν τῶν συμμαχησόντων ὑμῖν. Οἶμαι γάρ τινας ἐννοεῖν, ὡς οὐκ ὀλίγους ἕξεται βοηθούς· ἐκεῖνο λέγω, ὅτι κἂν ἅπαν τὸ λοιπὸν στρατόπεδον ἡσυχίαν ἄγῃ, Ὀδυσσεὺς οὑτοσὶ μόνος, γέλωτα τοὺς ὑμετέρους ἀποφανεῖ συμμάχους, τῇ συναίσει[2] τὸ πλῆθος ἐλέγχων.

§ 20. Ταῦτ' οὔτ' ὀκνῶν τὸν πόλεμον, οὔτ' ἐπιθυμῶν πραγμάτων, εἴρηκα. Πλείω μέν τοι διεξιέναι, πρόχειρον μὲν, μάταιον δὲ καὶ κενόν. Εἰ γὰρ μὴ τούτοις προσέξετε τὸν νοῦν, οὐδὲ τοῦ πλείονος οὐδὲν ὄφελος· μαρτύρομαι δὲ Δία τε ξένιον καὶ πάντας θεούς τε καὶ δαίμονας, ὅσοι τήνδε κατέχουσι τὴν γῆν, ὅτι καὶ τὴν ἀρχὴν ἀδικούμενοι προσέσχομεν Ἰλίῳ, καὶ νῦν λέγῳ διαλύεσθαι προαιρούμεθα, καὶ πολεμήσομεν ἑτέρων ἀναγκαζόντων.

---

§ 18. 2. Μάλιστα μέν.) Κυρίως δηλ. καὶ καθ' αὑτό. — 3. Τοῖς γὰρ οὕτω γνώμης ἔχουσιν.) Τοῖς τοιαύτην γνώμην ἢ διάθεσιν ἔχουσι. — 4. Ἐξ οὐρίας.) Ἀπὸ μεταφορᾶς τῶν πλεόντων. Ἐξ οὐρίας λέγονται πλεῖν, οἱ ἐκ τῆς πρύμνης ἔχοντες τὸν ἄνεμον φυσῶντα· καὶ ἐννοεῖται τὸ Πνοῆς· ἵν' ᾖ τὸ ἐξ οὐρίας πνοῆς. Δηλοῖ δὲ ἐνταῦθα ὅτι τὰ πράγματα φιλεῖ φέρεσθαι αἰσίως ἐκείνοις, ὅσοι αὐτὸ καθ' αὑτὸ τὸ δίκαιον αἰδοῦνται. — 5. Οὐδὲ βουλομένοις.) Νῦν δὲ δηλ. καὶ ἐὰν βούλησθε μὴ τὸ δίκαιον αἰδεῖσθαι οὐκ ἔστιν ἄλλως ποιεῖν, ἀλλὰ καὶ ἐξ ἀνάγκης αἰδεσθήσεσθαι τὸ δίκαιον. — 6. Τῶν κρειττόνων.) Τῶν θεῶν δηλ.

§ 19. 2. Τῇ συνέσει.) Ἐκ τῶν Ὁμήρου λαβὼν· λέγει ταῦτα· ἐκεῖνος γὰρ πανταχοῦ ἐν τῇ ποιήσει, Πολύμητιν, καὶ Πολυμήχανον· καὶ τὰ τοιαῦτα καλεῖ.

Ε.Υ.Δ. της Κ.Τ.Ι ΙΩΑΝΝΙΝΑ 2006